# ΡΟΥΘ

1 ΚΑΙ ἐγένετο ἐν τῷ κρίνειν τοὺς κριτὰς καὶ
ἐγένετο λιμὸς ἐν τῇ γῇ, καὶ ἐπορεύθη ἀνὴρ
ἀπὸ Βηθλεὲμ τῆς Ἰούδα τοῦ παροικῆσαι ἐν
ἀγρῷ Μωάβ, αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ
δύο υἱοὶ αὐτοῦ.
2 καὶ ὄνομα τῷ ἀνδρὶ Ἐλιμέλεχ, καὶ ὄνομα
τῇ γυναικὶ αὐτοῦ Νεωμίν, καὶ ὄνομα τοῖς
δυσὶν υἱοῖς αὐτοῦ Μααλὼν καὶ Χελαιών,
Ἐφραθαῖοι ἐκ Βηθλεὲμ τῆς Ἰούδα· καὶ
ἤλθοσαν εἰς ἀγρὸν Μωὰβ καὶ ἦσαν ἐκεῖ.
3 και ἀπέθανεν Ἐλιμέλεχ ὁ ἀνὴρ τῆς
Νεωμίν, καὶ κατελείφθη αὕτη καὶ οἱ δύο υἱοὶ
αὐτῆς.
4 καὶ ἐλάβοσαν ἑαυτοῖς γυναῖκας
Μωαβίτιδας, ὄνομα τῇ μιᾷ Ὀρφά, καὶ ὄνομα
τῇ δευτέρᾳ Ρούθ· καὶ κατῴκησαν ἐκεῖ ὡς
δέκα ἔτη.
5 καὶ ἀπέθανον καί γε ἀμφότεροι, Μααλὼν
καὶ Χελαιών, καὶ κατελείφθη ἡ γυνὴ ἀπὸ τοῦ
ἀνδρὸς αὐτῆς καὶ ἀπὸ τῶν δύο υἱῶν αὐτῆς.
6 καὶ ἀνέστη αὕτη καὶ αἱ δύο νύμφαι αὐτῆς
καὶ ἀπέστρεψαν ἐξ ἀγροῦ Μωάβ, ὅτι ἤκουσεν
ἐν ἀγρῷ Μωὰβ ὅτι ἐπέσκεπται Κύριος τὸν
λαὸν αὐτοῦ δοῦναι αὐτοῖς ἄρτους,
7 καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου, οὗ ἦν ἐκεῖ, καὶ
αἱ δύο νύμφαι αὐτῆς μετ᾽ αὐτῆς· καὶ
ἐπορεύοντο ἐν τῇ ὁδῷ τοῦ ἐπιστρέψαι εἰς τὴν
γῆν Ἰούδα.

8 καὶ εἶπε Νωεμὶν ταῖς δυσὶ νύμφαις αὐτῆς·
πορεύεσθαι δή, ἀποστράφητε ἑκάστη εἰς
οἶκον μητρὸς αὐτῆς· ποιήσαι Κύριος μετ᾿
ὑμῶν ἔλεος, καθὼς ἐποιήσατε μετὰ τῶν
τεθνηκόταν καὶ μετ᾿ ἐμοῦ·
9 δῴη Κύριος ὑμῖν καὶ εὕροιτε ἀνάπαυσιν
ἑκάστη ἐν οἴκῳ ἀνδρὸς αὐτῆς· καὶ
κατεφίλησεν αὐτάς, καὶ ἐπῇραν τὴν φωνὴν
αὐτῶν καὶ ἔκλαυσαν.
10 καὶ εἶπαν αὐτῇ· μετὰ σοῦ ἐπιστρέφομεν
εἰς τὸν λαόν σου.
11 καὶ εἶπε Νωεμίν· ἐπιστράφητε δή,
θυγατέρες μου· καὶ ἱνατί πορεύεσθε μετ᾿
ἐμοῦ; μὴ ἔτι μοι υἱοὶ ἐν τῇ κοιλίᾳ μου καὶ
ἔσονται ὑμῖν εἰς ἄνδρας;
12 ἐπιστράφητε δή, θυγατέρες μου, διότι
γεγήρακα τοῦ μὴ εἶναι ἀνδρί· ὅτι εἶπα, ὅτι
ἔστι μοι ὑπόστασις τοῦ γενηθῆναί με ἀνδρὶ
καὶ τέξομαι υἱούς,
13 μὴ αὐτοὺς προσδέξεσθαι ἕως οὗ
ἁδρυνθῶσιν; ἢ αὐτοῖς κατασχεθήσεσθε τοῦ
μὴ γενέσθαι ἀνδρί; μὴ δή, θυγατέρες μου, ὅτι
ἐπικράνθη μοι ὑπὲρ ὑμᾶς, ὅτι ἐξῆλθεν ἐν ἐμοὶ
χεὶρ Κυρίου.
14 καὶ ἐπῇραν τὴν φωνὴν αὐτῶν καὶ
ἔκλαυσαν ἔτι· καὶ κατεφίλησεν Ὀρφὰ τὴν
πενθερὰν αὐτῆς καὶ ἐπέστρεψεν εἰς τὸν λαὸν
αὐτῆς, Ροὺθ δὲ ἠκολούθησεν αὐτῇ.
15 καὶ εἶπε Νωεμὶν πρὸς Ρούθ· ἰδοὺ
ἀνέστρεψεν ἡ σύννυμφός σου πρὸς λαὸν
αὐτῆς καὶ πρὸς τοὺς θεοὺς αὐτῆς·

ἐπιστράφηθι δὴ καὶ σὺ ὀπίσω τῆς συννύμφου σου.
16 εἶπε δὲ Ρούθ· μὴ ἀπάντησαί μοι τοῦ
καταλιπεῖν σε ἢ ἀποστρέψαι ὄπισθέν σου·
ὅτι σὺ ὅπου ἐὰν πορευθῇς, πορεύσομαι, καὶ
οὗ ἐὰν αὐλισθῇς, αὐλισθήσομαι· ὁ λαός σου
λαός μου, καὶ ὁ Θεός σου Θεός μου·
17 καὶ οὗ ἐὰν ἀποθάνῃς, ἀποθανοῦμαι,
κἀκεῖ ταφήσομαι· τάδε ποιήσαι μοι Κύριος
καὶ τάδε προσθείῃ, ὅτι θάνατος διαστελεῖ
ἀναμέσον ἐμοῦ καὶ σοῦ.
18 ἰδοῦσα δὲ Νωεμὶν ὅτι κραταιοῦται αὐτὴ
τοῦ πορεύεσθαι μετ᾿ αὐτῆς, ἐκόπασε τοῦ
λαλῆσαι πρὸς αὐτὴν ἔτι.
19 ἐπορεύθησαν δὲ ἀμφότεραι, ἕως τοῦ
παραγενέσθαι αὐτὰς εἰς Βηθλεέμ. καὶ
ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτάς εἰς Βηθλεέμ, καὶ
ἤχησε πᾶσα ἡ πόλις ἐπ᾿ αὐταῖς καὶ εἶπον· εἰ
αὕτη ἐστὶ Νωεμίν;
20 καὶ εἶπε πρὸς αὐτάς· μὴ δὴ καλεῖτέ με
Νωεμίν, καλέσατέ με Πικράν, ὅτι ἐπικράνθη
ἐν ἐμοὶ ὁ ἱκανὸς σφόδρα·
21 ἐγὼ πλήρης ἐπορεύθην, καὶ κενὴν
ἀπέστρεψέ με ὁ Κύριος· καὶ ἱνατί καλεῖτέ με
Νωεμίν; καὶ Κύριος ἐταπείνωσέ με, καὶ ὁ
ἱκανὸς ἐκάκωσέ με.
22 καὶ ἐπέστρεψε Νωεμὶν καὶ Ρούθ ἡ
Μωαβῖτις ἡ νύμφη αὐτῆς ἐπιστρέφουσαι ἐξ
ἀγροῦ Μωάβ· αὗται δὲ παρεγενήθησαν εἰς
Βηθλεὲμ ἐν ἀρχῇ θερισμοῦ κριθῶν.

# 2

1 ΚΑΙ τῇ Νωεμὶν ἀνὴρ γνώριμος τῷ ἀνδρὶ
αὐτῆς· ὁ δὲ ἀνὴρ δυνατὸς ἰσχύϊ ἐκ τῆς
συγγενείας Ἐλιμέλεχ, καὶ ὄνομα αὐτῷ Βοόζ.
2 καὶ εἶπε Ρούθ ἡ Μωαβῖτις πρὸς Νωεμίν·
πορευθῶ δὴ εἰς ἀγρὸν καὶ συνάξω ἐν τοῖς
στάχυσι κατόπισθεν οὗ ἐὰν εὕρω χάριν ἐν
ὀφθαλμοῖς αὐτοῦ. εἶπε δὲ αὐτῇ· πορεύου,
θύγατερ.
3 καὶ ἐπορεύθη καὶ ἐλθοῦσα συνέλεξεν ἐν
τῷ ἀγρῷ κατόπισθεν τῶν θεριζόντων· καὶ
περιέπεσε περιπτώματι τῇ μερίδι τοῦ ἀγροῦ
Βοὸζ τοῦ ἐκ τῆς συγγενείας Ἐλιμέλεχ.
4 καὶ ἰδοὺ Βοὸζ ἦλθεν ἐκ Βηθλεὲμ καὶ εἶπε
τοῖς θερίζουσι· Κύριος μεθ᾿ ὑμῶν· καὶ εἶπον
αὐτῷ· εὐλογήσαι σε Κύριος.
5 καὶ εἶπε Βοὸζ τῷ παιδαρίῳ αὐτοῦ τῷ
ἐφεστῶτι ἐπὶ τοὺς θερίζοντας· τίνος ἡ νεᾶνις
αὕτη;
6 καὶ ἀπεκρίθη τὸ παιδάριον τὸ ἐφεστὼς
ἐπὶ τοὺς θερίζοντας καὶ εἶπεν· ἡ παῖς ἡ
Μωαβῖτίς ἐστιν ἡ ἀποστραφεῖσα μετὰ
Νωεμὶν ἐξ ἀγροῦ Μωὰβ
7 καὶ εἶπε· συλλέξω δὴ καὶ συνάξω ἐν τοῖς
δράγμασιν ὄπισθεν τῶν θεριζόντων· καὶ ἦλθε
καὶ ἔστη ἀπὸ πρωΐθεν καὶ ἕως ἑσπέρας, οὐ
κατέπαυσεν ἐν τῷ ἀγρῷ μικρόν.
8 καὶ εἶπε Βοὸζ πρὸς Ρούθ· οὐκ ἤκουσας,
θύγατερ; μὴ πορευθῇς ἐν ἀγρῷ συλλέξαι
ἑτέρῳ, καὶ σὺ οὐ πορεύσῃ ἐντεῦθεν· ὧδε

κολλήθητι μετὰ τῶν κορασίων μου·
9 οἱ ὀφθαλμοί σου εἰς τὸν ἀγρόν, οὗ ἐὰν
θερίζωσι, καὶ πορεύσῃ κατόπισθεν αὐτῶν·
ἰδοὺ ἐνετειλάμην τοῖς παιδαρίοις τοῦ μὴ
ἅψαισθαί σου· καὶ ὅτε διψήσεις καὶ
πορευθήσῃ εἰς τὰ σκεύη καὶ πίεσαι ὅθεν ἐὰν
ὑδρεύωνται τὰ παιδάρια.
10 καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῆς καὶ
προσεκύνησεν ἐπὶ τὴν γῆν καὶ εἶπε πρὸς
αὐτόν· τί ὅτι εὗρον χάριν ἐν ὀφθαλμοῖς σου
τοῦ ἐπιγνῶναί με, καὶ ἐγώ εἰμι ξένη;
11 καὶ ἀπεκρίθη Βοὸζ καὶ εἶπεν αὐτῇ·
ἀπαγγελίᾳ ἀπηγγέλη μοι ὅσα πεποίηκας μετὰ
τῆς πενθερᾶς σου μετὰ τὸ ἀποθανεῖν τὸν
ἄνδρα σου καὶ πῶς κατέλιπες τὸν πατέρα
σου καὶ τὴν μητέρα σου καὶ τὴν γῆν
γενέσεώς σου καὶ ἐπορεύθης πρὸς λαόν, ὃν
οὐκ ᾔδεις ἐχθὲς καὶ τρίτης·
12 ἀποτίσαι Κύριος τὴν ἐργασίαν σου καὶ
γένοιτο ὁ μισθός σου πλήρης παρὰ Κυρίου
Θεοῦ Ἰσραήλ, πρὸς ὃν ἦλθες πεποιθέναι ὑπὸ
τὰς πτέρυγας αὐτοῦ.
13 ἡ δὲ εἶπεν· εὕροιμι χάριν ἐν ὀφθαλμοῖς
σου, κύριε, ὅτι παρεκάλεσάς με καὶ ὅτι
ἐλάλησας ἐπὶ καρδίαν τῆς δούλης σου, καὶ
ἰδοὺ ἐγὼ ἔσομαι ὡς μία τῶν παιδισκῶν σου.
14 καὶ εἶπεν αὐτῇ Βοόζ· ἤδη ὥρα τοῦ φαγεῖν,
πρόσελθε ὧδε καὶ φάγεσαι τῶν ἄρτων καὶ
βάψεις τὸν ψωμόν σου ἐν τῷ ὄξει. καὶ
ἐκάθισε Ροὺθ ἐκ πλαγίων τῶν θεριζόντων,

καὶ ἐβούνισεν αὐτῇ Βοὸζ ἄλφιτον, καὶ ἔφαγε
καὶ ἐνεπλήσθη καὶ κατέλιπε.
15 καὶ ἀνέστη τοῦ συλλέγειν, καὶ
ἐνετείλατο Βοὸζ τοῖς παιδαρίοις αὐτοῦ
λέγων· καί γε ἀνὰ μέσον τῶν δραγμάτων
συλλεγέτω, καὶ μὴ καταισχύνητε αὐτήν·
16 καὶ βαστάζοντες βαστάσατε αὐτῇ καί γε
παραβάλλοντες παραβαλεῖτε αὐτῇ ἐκ τῶν
βεβουνισμένων· καὶ φάγεται καὶ συλλέξει,
καὶ οὐκ ἐπιτιμήσετε αὐτῇ.
17 καὶ συνέλεξεν ἐν τῷ ἀγρῷ ἕως ἑσπέρας·
καὶ ἐρράβδισεν ἃ συνέλεξε, καὶ ἐγενήθη ὡς
οἰφὶ κριθῶν.
18 καὶ ἦρε καὶ εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ
εἶδεν ἡ πενθερὰ αὐτῆς ἃ συνέλεξε, καὶ
ἐξενέγκασα Ροὺθ ἔδωκεν αὐτῇ ἃ κατέλιπεν,
ἐξ ὧν ἐνεπλήσθη.
19 καὶ εἶπεν αὐτῇ ἡ πενθερὰ αὐτῆς· ποῦ
συνέλεξας σήμερον καὶ ποῦ ἐποίησας; εἴη ὁ
ἐπιγνούς σε εὐλογημένος. καὶ ἀνήγγειλε
Ροὺθ τῇ πενθερᾷ αὐτῆς ποῦ ἐποίησε, καὶ εἶπε·
τὸ ὄνομα τοῦ ἀνδρός, μεθ᾿ οὗ ἐποίησα
σήμερον, Βοόζ.
20 εἶπε δὲ Νωεμὶν τῇ νύμφῃ αὐτῆς·
εὐλογητός ἐστι τῷ Κυρίῳ, ὅτι οὐκ ἐγκατέλιπε
τὸ ἔλεος αὐτοῦ μετὰ τῶν ζώντων καὶ μετὰ
τῶν τεθνηκότων. καὶ εἶπεν αὐτῇ Νωεμίν·
ἐγγίζει ἡμῖν ὁ ἀνήρ, ἐκ τῶν ἀγχιστευόντων
ἡμῖν ἐστι.
21 καὶ εἶπε Ροὺθ πρὸς τὴν πενθερὰν αὐτῆς·

καί γε ὅτι εἶπε πρός με· μετὰ τῶν κορασίων
τῶν ἐμῶν προσκολλήθητι ἕως ἂν τελέσωσιν
ὅλον τὸν ἀμητόν, ὃς ὑπάρχει μοι.
22 καὶ εἶπε Νωεμὶν πρὸς Ροὺθ τὴν νύμφην
αὐτῆς· ἀγαθόν, θύγατερ, ὅτι ἐξῆλθες μετὰ
τῶν κορασίων αὐτοῦ, καὶ οὐκ ἀπαντήσονταί
σοι ἐν ἀγρῷ ἑτέρῳ.
23 καὶ προσεκολλήθη Ροὺθ τοῖς κορασίοις
τοῦ Βοὸζ τοῦ συλλέγειν ἕως τοῦ συντελέσαι
τὸν θερισμὸν τῶν κριθῶν καὶ τῶν πυρῶν.

# 3

1 ΚΑΙ ἐκάθισε μετὰ τῆς πενθερᾶς αὐτῆς.
εἶπε δὲ αὐτῇ Νωεμὶν ἡ πενθερὰ αὐτῆς·
θύγατερ, οὐ μὴ ζητήσω σοι ἀνάπαυσιν, ἵνα εὖ
γένηταί σοι;
2 καὶ νῦν οὐχὶ Βοὸζ γνώριμος ἡμῶν, οὗ ἦς
μετὰ τῶν κορασίων αὐτοῦ; ἰδοὺ αὐτὸς λικμᾷ
τὸν ἅλωνα τῶν κριθῶν ταύτῃ τῇ νυκτί.
3 σὺ δὲ λούσῃ καὶ ἀλείψῃ καὶ περιθήσεις
τὸν ἱματισμόν σου ἐπί σεαυτῇ καὶ ἀναβήσῃ
ἐπὶ τὸν ἅλω· μὴ γνωρισθῇς τῷ ἀνδρὶ ἕως τοῦ
συντελέσαι αὐτὸν τοῦ φαγεῖν καὶ πιεῖν·
4 καὶ ἔσται ἐν τῷ κοιμηθῆναι αὐτόν, καὶ
γνώσῃ τὸν τόπον ὅπου κοιμᾶται ἐκεῖ, καὶ
ἐλεύσῃ καὶ ἀποκαλύψεις τὰ πρὸς ποδῶν
αὐτοῦ καὶ κοιμηθήσῃ, καὶ αὐτὸς ἀπαγγελεῖ
σοι ἃ ποιήσεις.
5 εἶπε δὲ Ροὺθ πρὸς αὐτήν· πάντα ὅσα ἂν
εἴπῃς, ποιήσω.

6 καὶ κατέβη εἰς τὸν ἅλω καὶ ἐποίησε κατὰ
πάντα, ὅσα ἐνετείλατο αὐτῇ ἡ πενθερὰ αὐτῆς.
7 καὶ ἔφαγε Βοὸζ καὶ ἔπιε καὶ ἠγαθύνθη ἡ
καρδία αὐτοῦ, καὶ ἦλθε κοιμηθῆναι ἐν μερίδι
τῆς στοιβῆς· ἡ δὲ ἦλθε κρυφῇ καὶ ἀπεκάλυψε
τὰ πρὸς ποδῶν αὐτοῦ.
8 ἐγένετο δὲ ἐν τῷ μεσονυκτίῳ καὶ ἐξέστη ὁ
ἀνὴρ καὶ ἐταράχθη, καὶ ἰδοὺ γυνὴ κοιμᾶται
πρὸς ποδῶν αὐτοῦ.
9 εἶπε δέ· τίς εἶ σύ; ἡ δὲ εἶπεν· ἐγώ εἰμι Ροὺθ
ἡ δούλη σου, καὶ περιβαλεῖς τὸ πτερύγιόν
σου ἐπὶ τὴν δούλην σου, ὅτι ἀγχιστεὺς εἶ σύ.
10 καὶ εἶπε Βοόζ· εὐλογημένη σὺ τῷ Κυρίῳ
Θεῷ, θύγατερ, ὅτι ἠγάθυνας τὸ ἔλεός σου τὸ
ἔσχατον ὑπὲρ τὸ πρῶτον, μὴ πορευθῆναί σε
ὀπίσω νεανιῶν, εἴτοι πτωχὸς εἴτοι πλούσιος.
11 καὶ νῦν, θύγατερ, μὴ φοβοῦ· πάντα, ὅσα
ἐὰν εἴπῃς, ποιήσω σοι· οἶδε γὰρ πᾶσα φυλὴ
λαοῦ μου ὅτι γυνὴ δυνάμεως εἶ σύ.
12 καὶ νῦν ὁ ἀληθῶς ἀγχιστεὺς ἐγώ εἰμι.
καί γέ ἐστιν ἀγχιστεὺς ἐγγίων ὑπὲρ ἐμέ.
13 αὐλίσθητι τὴν νύκτα, καὶ ἔσται τὸ πρωΐ,
ἐὰν ἀγχιστεύσῃ σε, ἀγαθόν, ἀγχιστευέτω·
ἐὰν δὲ μὴ βούληται ἀγχιστεῦσαί σε,
ἀγχιστεύσω σε ἐγώ, ζῇ Κύριος· κοιμήθητι ἕως
τὸ πρωΐ.
14 καὶ ἐκοιμήθη πρὸς ποδῶν αὐτοῦ ἕως
πρωΐ. ἡ δὲ ἀνέστη πρὸ τοῦ ἐπιγνῶναι ἄνδρα
τὸν πλησίον αὐτοῦ· καὶ εἶπε Βοόζ· μὴ
γνωσθήτω ὅτι ἦλθε γυνὴ εἰς τὸν ἅλω.

15 καὶ εἶπεν αὐτῇ· φέρε τὸ περίζωμα τὸ
ἐπάνω σου. καὶ ἐκράτησεν αὐτό, καὶ
ἐμέτρησεν ἓξ κριθῶν καὶ ἐπέθηκεν ἐπ᾿ αὐτήν·
καὶ εἰσῆλθεν εἰς τὴν πόλιν.
16 καὶ Ρούθ εἰσῆλθε πρὸς τὴν πενθερὰν
αὐτῆς· ἡ δὲ εἶπεν αὐτῇ· θύγατερ· καὶ εἶπεν
αὐτῇ πάντα, ὅσα ἐποίησεν αὐτῇ ὁ ἀνήρ.
17 καὶ εἶπεν αὐτῇ· τὰ ἓξ τῶν κριθῶν ταῦτα
ἔδωκέ μοι, ὅτι εἶπε πρός με· μὴ εἰσέλθῃς κενὴ
πρὸς τὴν πενθεράν σου.
18 ἡ δὲ εἶπε· κάθου, θύγατερ, ἕως τοῦ
ἐπιγνῶναί σε πῶς οὐ πεσεῖται ρῆμα· οὐ γὰρ
μὴ ἡσυχάσῃ ὁ ἀνήρ, ἕως ἂν τελεσθῇ τὸ ρῆμα
σήμερον.

# 4

1 ΚΑΙ Βοὸζ ἀνέβη ἐπὶ τὴν πύλην, καὶ
ἐκάθισεν ἐκεῖ, καὶ ἰδοὺ ὁ ἀγχιστεὺς
παρεπορεύετο, ὃν ἐλάλησε Βοόζ. καὶ εἶπε
πρὸς αὐτὸν Βοόζ· ἐκκλίνας κάθισον ὧδε,
κρύφιε. καὶ ἐξέκλινε καὶ ἐκάθισε.
2 καὶ ἔλαβε Βοὸζ δέκα ἄνδρας ἀπὸ τῶν
πρεσβυτέρων τῆς πόλεως καὶ εἶπε· καθίσατε
ὧδε· καὶ ἐκάθισαν.
3 καὶ εἶπε Βοὸζ τῷ ἀγχιστεῖ· τὴν μερίδα τοῦ
ἀγροῦ, ἥ ἐστι τοῦ ἀδελφοῦ ἡμῶν τοῦ
Ἐλιμέλεχ, ἣ δέδοται Νωεμὶν τῇ ἐπιστρεφούσῃ
ἐξ ἀγροῦ Μωάβ,
4 κἀγὼ εἶπα· ἀποκαλύψω τὸ οὖς σου λέγων·
κτῆσαι ἐναντίον τῶν καθημένων καὶ
ἐναντίον τῶν πρεσβυτέρων τοῦ λαοῦ μου· εἰ

ἀγχιστεύεις, ἀγχίστευε· εἰ δὲ μὴ ἀγχιστεύεις,
ἀνάγγειλόν μοι καὶ γνώσομαι· ὅτι οὐκ ἔστι
πάρεξ σοῦ τοῦ ἀγχιστεῦσαι, κἀγώ εἰμι μετὰ
σέ. ὁ δὲ εἶπεν· ἐγώ εἰμι, ἀγχιστεύσω.
5 καὶ εἶπε Βοόζ· ἐν ἡμέρᾳ τοῦ κτήσασθαί σε
τὸν ἀγρὸν ἐκ χειρὸς Νωεμὶν καὶ παρὰ Ροὺθ
τῆς Μωαβίτιδος γυναικὸς τοῦ τεθνηκότος,
καὶ αὐτὴν κτήσασθαί σε δεῖ ὥστε ἀναστῆσαι
τὸ ὄνομα τοῦ τεθνηκότος ἐπὶ τῆς
κληρονομίας αὐτοῦ.
6 καὶ εἶπεν ὁ ἀγχιστεύς· οὐ δυνήσομαι
ἀγχιστεῦσαι ἐμαυτῷ, μή ποτε διαφθείρω τὴν
κληρονομίαν μου· ἀγχίστευσον σεαυτῷ τὴν
ἀγχιστείαν μου, ὅτι οὐ δυνήσομαι
ἀγχιστεῦσαι.
7 καὶ τοῦτο τὸ δικαίωμα ἔμπροσθεν ἐν τῷ
Ἰσραὴλ ἐπὶ τὴν ἀγχιστείαν καὶ ἐπὶ τὸ
ἀντάλλαγμα τοῦ στῆσαι πάντα λόγον, καὶ
ὑπελύετο ἀνὴρ τὸ ὑπόδημα αὐτοῦ καὶ ἐδίδου
τῷ πλησίον αὐτοῦ τῷ ἀγχιστεύοντι τὴν
ἀγχιστείαν αὐτοῦ, καὶ τοῦτο ἦν μαρτύριον ἐν
Ἰσραήλ.
8 καὶ εἶπεν ὁ ἀγχιστεὺς τῷ Βοόζ· κτῆσαι
σεαυτῷ τὴν ἀγχιστείαν μου· καὶ ὑπελύσατο
τὸ ὑπόδημα αὐτοῦ καὶ ἔδωκεν αὐτῷ.
9 καὶ εἶπε Βοὸζ τοῖς πρεσβυτέροις καὶ παντὶ
τῷ λαῷ· μάρτυρες ὑμεῖς σήμερον, ὅτι
κέκτημαι πάντα τὰ τοῦ Ἐλιμέλεχ καὶ πάντα,
ὅσα ὑπάρχει τῷ Χελαιὼν καὶ τῷ Μααλὼν ἐκ
χειρὸς Νωεμίν·
10 καί γε Ροὺθ τὴν Μωαβῖτιν τὴν γυναῖκα

Μααλὼν κέκτημαι ἐμαυτῷ εἰς γυναῖκα τοῦ
ἀναστῆσαι τὸ ὄνομα τοῦ τεθνηκότος ἐπὶ τῆς
κληρονομίας αὐτοῦ, καὶ οὐκ
ἐξολοθρευθήσεται τὸ ὄνομα τοῦ τεθνηκότος
ἐκ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἐκ τῆς φυλῆς
λαοῦ αὐτοῦ· μάρτυρες ὑμεῖς σήμερον.
11 καὶ εἴποσαν πᾶς ὁ λαὸς οἱ ἐν τῇ πύλῃ·
μάρτυρες. καὶ οἱ πρεσβύτεροι εἴποσαν· δῴη
Κύριος τὴν γυναῖκά σου τὴν εἰσπορευομένην
εἰς τὸν οἶκόν σου ὡς Ραχὴλ καὶ ὡς Λείαν, αἳ
ᾠκοδόμησαν ἀμφότεροι τὸν οἶκον τοῦ
Ἰσραὴλ καὶ ἐποίησαν δύναμιν ἐν Ἐφραθά,
καὶ ἔσται ὄνομα ἐν Βηθλεέμ·
12 καὶ γένοιτο ὁ οἶκός σου ὡς ὁ οἶκος
Φαρές, ὃν ἔτεκε Θάμαρ τῷ Ἰούδᾳ, ἐκ τοῦ
σπέρματος οὗ δώσει Κύριός σοι ἐκ τῆς
παιδίσκης ταύτης.
13 καὶ ἔλαβε Βοὸζ τὴν Ρούθ, καὶ ἐγενήθη
αὐτῷ εἰς γυναῖκα, καὶ εἰσῆλθε πρὸς αὐτήν,
καὶ ἔδωκεν αὐτῇ Κύριος κύησιν, καὶ ἔτεκεν
υἱόν.
14 καὶ εἶπαν αἱ γυναῖκες πρὸς Νωεμίν·
εὐλογητὸς Κύριος, ὃς οὐ κατέλυσέ σοι
σήμερον τὸν ἀγχιστέα, καὶ καλέσαι τὸ ὄνομά
σου ἐν Ἰσραήλ,
15 καὶ ἔσται σοι εἰς ἐπιστρέφοντα ψυχὴν
καὶ τοῦ διαθρέψαι τὴν πολιάν σου, ὅτι ἡ
νύμφη ἡ ἀγαπήσασά σε ἔτεκεν αὐτόν, ἥ ἐστιν
ἀγαθή σοι ὑπὲρ ἑπτὰ υἱούς.
16 καὶ ἔλαβε Νωεμὶν τὸ παιδίον καὶ ἔθηκεν
εἰς τὸν κόλπον αὐτῆς καὶ ἐγενήθη αὐτῷ εἰς

τιθηνόν.
17 καὶ ἐκάλεσαν αὐτοῦ αἱ γείτονες ὄνομα
λέγουσαι· ἐτέχθη υἱὸς τῇ Νωεμίν· καὶ
ἐκάλεσαν τὸ ὄνομα αὐτοῦ Ὠβήδ· οὗτος πατὴρ
Ἰεσσαὶ πατρὸς Δαυίδ.
18 καὶ αὗται αἱ γενέσεις Φαρές· Φαρὲς
ἐγέννησε τὸν Ἐσρώμ,
19 Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράν, καὶ Ἀρὰν
ἐγέννησε τὸν Ἀμιναδάβ,
20 καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσών,
καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμάν,
21 καὶ Σαλμὰν ἐγέννησε τὸν Βοόζ, καὶ Βοὸζ
ἐγέννησε τὸν Ὠβήδ,
22 καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί, καὶ
Ἰεσσαὶ ἐγέννησε τὸν Δαυίδ.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA

## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a